ἕξις καὶ ἐνέργεια καὶ τελευταία στέρησις. ἆρα γὰρ διὰ ποίαν ἔννοιαν ὁ Γοργίας ἦλθεν εἰς τὸ εἰπεῖν, ὅτι καὶ ἐπιστήμων ἐστὶν ὁ ῥήτωρ τῶν δικαίων καὶ ὅτι δύναται καὶ ἀδικεῖν. φαμὲν ὅτι τὸ μέν, ὅτι ἐπιστήμων ἐστίν, ἐκ τῆς κοινῆς ἐννοίας ἔλαβεν, τὸ δέ, ὅτι δύναται καὶ ἀδικεῖν, ἐξ ἀγνοίας· ὥστε ἐντεῦθεν εἰς ταῦτα ἐξηνέχθη ὁ Γοργίας καὶ περιέπεσεν τῇ ἀντιφάσει.

ἄξιον δὲ ζητῆσαι, διὰ ποίαν αἰτίαν ὁ μὲν ἰατρὸς παρα- 5
βαίνων τὸν ὅρκον καὶ διδοὺς φθόρια οὐκ ἐγκαλεῖται ὡς μὴ ἰατρός, ἀλλ' οὐδὲ ἧττον ἰατρός ἐστιν, ὁ δὲ ῥήτωρ περὶ τὸ ἄδικον καταγινόμενος σκώπτεται· φαμὲν ὅτι ὁ ἰατρὸς περὶ σῶμα ἔχει, οὐ πάντως ὅτι φροντίζει καὶ τῆς ψυχῆς, τὸ δὲ δίκαιον τῆς ψυχῆς ἐστιν· τί δὲ ψυχῆς τιμιώτερον; οὐ δεῖ οὖν τὸ τῆς ψυχῆς προδιδόναι· ἰστέον δὲ ὅτι δύνατον καὶ ἐκ τοῦ ἐναντίου συμπεράναι καὶ εἰπεῖν· ὁ ῥήτωρ ἐπιστήμων τοῦ ἀδίκου, ὁ ἐπιστήμων τοῦ ἀδίκου ἄδικα βούλεται, ὁ ἄδικα βουλόμενος ἄδικα διαπράττεται, ὁ διαπραττόμος ἄδικα οὐκ ἔστι ποτὲ δίκαιος· ὁ ἄρα ῥήτωρ οὐδέποτε δίκαιός ἐστιν· ἀλλὰ φαμὲν ὅτι δύναται ὁ ῥήτωρ εἰδέναι τὸ δίκαιον, οὐχ' ἵνα χρήσηται, ἀλλ' ἵνα φύγῃ αὐτὸ καὶ μὴ ἀγνοῶν περιπέσῃ.

p. 461 a. οὕτω θαυμάσας καὶ ἡγησάμενος.

ὅρα μετὰ τὸν ἔλεγχον οὐδὲν ὑβριστικὸν ῥῆμα ἢ πληκτικὸν 6
προφέρει ὁ Σωκράτης, ὅπερ εἰκὸς ἄλλον εἰπεῖν ἐπαιρόμενον· θαυμάσας γὰρ μόνον φησίν.

p. 461 a. μὰ τὸν κύνα, ὦ Γοργία.

συμβολικῶς τοῦτο· ὁ γὰρ κύων σύμβολόν ἐστι τῆς λογι- 7
κῆς ζωῆς, ὡς εἴρηται ἐν ταῖς Πολιτείαις· ἔχει τι ὁ κύων φιλόσοφον τὸ διακριτικόν· διακρίνει γὰρ τοὺς οἰκείους ἀπὸ τῶν ἀλλοτρίων· ἀμέλει ὑπὸ μὲν τῶν οἰκείων ἀνέχεται τύπ-

26 Plat. reip. II 375 e

32 (p. 56) mg.

| | |
|---|---|
| ἐπιστήμη | ἐπιστήμων τῶν δικαίων |
| ἕξις | βουλόμενος τὰ δίκαια |
| ἐνέργεια | πράττων τὰ δίκαια |
| στέρησις | οὐδέποτε ἀδικῶν |

1 mg ἀπορία 4 mg. λύσις 7 mg. ἀπορία 10 mg. λύσις 26 mg. ση. τὸν τοῦ κυνὸς ἔπαινον ὁποῖος